ὁ μέγας Βασίλειος τῷ ἐπάρχῳ ἐκείνῳ, πῇ μὲν ἱλαρῶς ἀποκριθείς, πῇ δὲ καὶ σιγῇ εὐλόγῳ τὸν ἄλογον θυμὸν ὑπομαλάττειν διανοηθεὶς κατὰ τὸν πρᾷον καὶ ἄκακον Ἰησοῦν τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι πάλαι παριστάμενον, οὕτω παραδόξως διέφυγε θεοῦ προνοίᾳ τὸν κίνδυνον, καὶ λαμπρὸς λαμπρῶς ἐπανελθὼν καὶ τῇ πατρίδι περισωθείς, πρὸς ἁπάντων ἁπλῶς θαυμαζόμενος καὶ τιμώμενος, ὀλίγον τι προσμείνας, ἀπῆρε πρὸς τὴν ἰδίαν ποίμνην ἐκκλίνων τον θόρυβον, τὰ οἰκεῖα θρέμματα, τοὺς ἐν μέσῳ τῶν ἀσεβῶν οἷον λύκων χριστιανοὺς ἐπισκεψόμενος ὁ ποιμὴν ὁ καλός, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων καὶ τοῦ ἀληθινοῦ καὶ πρώτου ποιμένος γνησιώτατος ζηλωτής. Προθύμως λοιπὸν πανταχοῦ τὸν τοῦ μεγάλου Ἰωάννου τοῦ εὐαγγελιστοῦ καὶ θεολόγου κλῆρον περιερχόμενος, καὶ ταῦτα ταῖς μακραῖς περιόδοις καὶ ἱδρῶσι καὶ κόποις, πονήρως ἔχων τῷ σώματι, ναοὺς ἱεροὺς πεπονηκότας ἐπισκεπτόμενος, αὐτὸν μάλιστα τὸν τῆς μητροπόλεως μετὰ τῶν παρ' αὐτῷ οἰκημάτων, ἱερεῖς χειροθετῶν, ἀδικουμένοις βοηθῶν καὶ μετὰ διωγμοῦ καὶ πειρασμοῦ ἔστιν ὅποι παρὰ τῶν ἀσεβῶν, χήραις καὶ ὀρφανοῖς ἐπαρκῶν, ἐλέγχων, ἐπιτιμῶν, παρακαλῶν, νουθετῶν, ἐπιστρέφων, στηρίζων, πᾶσι πάντα γινόμενος κατὰ τὸν μέγαν ἀπόστολον. Ὡς δ' ἀποχρώντως αὐτῷ τὰ τῆς ποίμνης ἀφωσίωται, τῷ τῆς ἀεὶ διαφερόντως ποθουμένης αὐτῷ ἡσυχίας κέντρῳ βληθείς, ἐξ ἀνατολῶν διαπεράσαι πρὸς τὸ ἅγιον ὄρος τὸν Ἄθω διενοήθη, ὡς ἐκεῖσε τὸ λειπόμενον τῆς ζωῆς ἐπί τινος ἐρημικοῦ διανύσειε χώρου. Ἀλλ' ὡς ἐξ ἀκεραιότητος πορθμείῳ τινὶ διαπερῶν προσέσχε τῇ νήσῳ Λήμνῳ κἀκεῖσε μικρόν τι χάριν μετρίας ψυχαγωγίας πράξας, καὶ προβὰς εὐθὺς ἐγνώσθη, καὶ γνωσθεὶς αὐτόσε περιωρίσθη. Ἐνθάδε δὴ πῶς ἄν τις ἀξίως θαυμάσειεν, ἢ τὴν ἣν ἐνεδείξατο μεγαλοψυχίαν καὶ καρτερίαν ἐν τοῖς δεινοῖς τόπῳ τε φλογερῷ προσπαλαίων καὶ στερήσει τῶν ἀναγκαίων πολλάκις καὶ νόσοις ἀλλεπαλλήλοις διαμαχόμενος, ἢ τὴν ἐν τῷ πικρῷ συγκλεισμῷ, ἡνίκα ὁ τῶν ἀσεβῶν Ἰσμαηλιτῶν στόλος τὴν νῆσον περιεστοίχισε καὶ κατέφθειρε, καὶ ἁπλῶς τὴν παρ' ὅλοις δυσὶν ἔτεσιν ἐν τοσαύταις θλίψεσιν ὑπομονήν. Ἀλλ' ὡς οὐ συνεχωρήθη ἐν οὐδενὶ τρόπῳ τῷ Ἄθῳ προσχεῖν, ἐπάνεισι μὲν μόλις ἐκ τῆς ὑπερορίας ὁ ἀθλητὴς τῇ πατρίδι, τέλειος ἤδη νέος ὁμολογητὴς πρὸς ἁπάντων σεβαζόμενός τε καὶ προσκυνούμενος καὶ δικαίως ἀπ. καλούμενος. Οὕτω τοίνυν ζήσας θεοφιλῶς καὶ ἐν πᾶσι λαμπρῶς διαπρέψας ἐν τῇ κατὰ τὴν νεότητα πρὸ τοῦ θείου σχήματος βιοτῇ, ἐν αὐτῷ τῷ ἁγίῳ σχήματι, ἐν τοῖς τῆς ἱερωσύνης βαθμοῖς, ἐν τῷ τῆς ἀρχιερωσύνης ἀξιώματι, ἐν ταῖς τῆς ὀρθοδόξου πίστεως διαλέξεσι καὶ τῇ εὐσεβεῖ μετὰ παρρησίας ὁμολογίᾳ, ἤδη τὸ πεντηκοστὸν καὶ δεύτερον ἔτος ἐλαύνων τῆς σωματικῆς ἡλικίας, πρὸς ὃν κατὰ Παῦλον ἀναλῦσαι

20. τῷ Ἄθῳ A.
21. ἐρημικοῦ A.
28. περιεστοίχισε ex περιεστοίχησε corr. A.
37. ἤδη τὸν A.